ΗΛ. Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ᾽ εἰπεῖν ἔπος
οὐδὲ πάθος οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ᾽ ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην,
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν
κοινῆς τραπέζης ἀξίωμ᾽ ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
οὗτος φυτεύει Πέλοπα, τοῦ δ᾽ Ἀτρεὺς ἔφυ,
ᾧ στέμματα ξήνασ᾽ ἐπέκλωσεν θεὰ
ἔριν Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
θέσθαι. τί τἄρρητ᾽ ἀναμετρήσασθαί με δεῖ;
ἔδαισε δ᾽ οὖν νιν τέκν᾽ ἀποκτείνας Ἀτρεύς.
Ἀτρέως δέ· τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας·
ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.
γαμεῖ δ᾽ ὃ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλαος Ἑλένην, ὃ δὲ Κλυταιμνήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·

---

2. συμφορὰν θεήλατον (corr. in — ά — ος) A συμφορὰν θεήλατον (ά, ος superscr.) B συμφορὰ θεήλατος EFc. schol.: γράφουσί τινες· οὐδὲ συμφορὰ θεήλατος. 3. ἀνθρώπων A 13 schol.: γράφεται δὲ καὶ Ἔρις. 18. μενέλαος ἐκ κρήσσης τε μρς ἀερόπης C 20. μενέλεως fere libri.